# ΠΟΙΗΣΗ ΤΟΥ 12ου ΑΙΩΝΑ

## Ι. Θεοφύλακτος Αχρίδος (έκδ. Gautier)

Στίχοι εἴς τινα εὐνοῦχον

Πολλοὶ μὲν εἶναί φασιν εὐνούχους τέρας,
ὡς τὴν φύσιν φέροντας ἐξηλλαγμένην.
Ἐγὼ δ’ ἐν εὐνούχοις σε θήσομαι τέρας,
ὡς τὴν καθαρότητα παρεφθαρμένον,
ἥτις σχεδὸν πέφυκεν εὐνούχων γέρας,
ὡς λάγνον, ὡς ἄσωτον, ὡς πόρναις φίλον,
ὡς παρθενοπίπαν τε καὶ κουρηφθόρον,
πρὸς μίξιν αἰσχρὰν ἀκρατέστερον τράγου,
Πρίαπον αὐτόχρημα πρὸς συνουσίαν,
ἢ Πάνα τὸν πάνσπερμον, ὡς μύθος λέγει
Ἠχοῦς ἐρᾶν ἔρωτας ἐκνομωτάτους.
Καὶ τἆλλα τῶν σῶν οὐ σχολή μοι νῦν γράφειν
γλῶτταν λαχοῦσαν ψεῦδος ἐν παρρησίᾳ.

**ΙΙ. Νικόλαος Μουζάλων (έκδ. Maas)**

Ποίημα παραίτησης από την αρχιεπισκοπή Κύπρου

(απόσπ.: στ. 884-905)

**Μουζάλων**. οὐ δεῖ λόγων πένησιν. **Φίλος**. ἀλλ’ ἄλλων τίνων;
**Μ**. κήνσων διδράχμων. **Φ**. οὐκ ἔχουσι τοὺς φόρους;
**Μ**. τροφὰς δ’ ἔχουσιν ἢ σκέπας; **Φ**. αὐτὸς δίδου.
**Μ**. οὐ πᾶσιν ἀρκῶ. **Φ**. πάντες ἠπορημένοι;
**Μ**. πολλῶν κακούντων. **Φ**. τῶν τίνων; Σαφῶς λέγε.
**Μ**. φόρων βαρῶν δώρων τε. **Φ**. φεῦ τυραννίδος.
**Μ**. τίς τἆλλα λέξει; **Φ**. καὶ πλέον τούτων ἔχεις;
**Μ**. ἡ γλῶσσα ναρκᾷ καὶ κρατείσθω τοῦ λέγειν.
ἡ χεὶρ βαρεῖται, παυσάτω τοῦ γράφειν.
**Φ**. τί δ’ ἐσθίουσιν; **Μ**. τὰς τροφὰς τοῦ Προδρόμου.
**Φ**. τί δ’ ἐνδύονται; **Μ**. τὰς βολὰς τοῦ φωσφόρου.
**Φ**. τίσι σκέπονται; **Μ**. ταῖς ὑποσκέποις πέτραις.
**Φ**. τοὺς θῆρας οὐ τρέμουσι; **Μ.** ποῦ θὴρ ἐν Κύπρῳ;
**Φ**. ἰδοὺ χρηστόν. **Μ**. ἀλλὰ καὶ τοῦτο θλίβει.
**Φ**. πῶς φῄς; **Μ**. θανεῖν ποθοῦσι καὶ κακηγκάκως.
**Φ**. ἡ γῆ φέρει τι; **Μ**. πάντα καρπὸν ἐκφύει.
**Φ**. ἰδού τι τερπνόν. **Μ**. τοῦτο προσθήκη γόου.
**Φ**. πῶς; **Μ**. τῶν γεωργῶν ἐσθίουσι τοὺς πόνους.
**Φ**. τῆς συμφορᾶς! **Μ**. ζητοῦσι καὶ τούτων πλέον.
**Φ**. οὐαί. **Μ**. βασανίζουσι τοὺς κεκτημένους.
**Φ**. φεῦ. **Μ**. συνδέουσι χεῖρας καὶ πόδας.
**Φ**. οἴμοι! **Μ**. κρεμῶσι καὶ κρεουργοῦσι ξύλοις.

## III. Νικόλαος Καλλικλῆς (ἐκδ. Romano)

Ἐπιτύμβιοι ἴαμβοι

**Ξένος**. Μέγαν ὁρῶ σε, τύμβε. **Τύμβος**. Μὴ πλανῶ, ξένε·
τρισσοὶ μένουσιν ἔνδον. **Ξ**. Εἰπὲ καὶ τίνες.
**Τ**. Μήτηρ, πατὴρ καὶ τέκνον. **Ξ**. Ἔμπικρος λόγος.
Γένος τὸ μητρὸς οἷον; **Τ**. Ἐκ Δουκῶν, ξένε.
**Ξ**. Φῂς τὴν σεβαστὴν Ἄνναν; **Τ**. Αὐτήν σοι λέγω.
**Ξ**. Ναὶ καὶ τὸ πατρὸς φράζε. **Τ**. Παλαιολόγος.
**Ξ**. Γεώργιον, φεῦ, τὸν σεβαστόν μοι λέγεις.
Εἰπεῖν ἔχεις τὸν παῖδα; **Τ**. Γνούς, φεῦ, δακρύσεις.
**Ξ**. Ἆρ’ ἡλιῶσαν εἶχεν ἢ χρυσῆν κόμην;
**Τ**. Χρυσῆν. **Ξ**. Ἐκυματοῦτο πρὸς τὸν αὐχένα;
**Τ**. Ναὶ τῷ Ζεφύρῳ παρπνέοντι πολλάκις.
**Ξ**. Ἔστησας ἡμῖν πᾶσαν ὀρθὴν τὴν τρίχα.
**Τ**. Ἂν γνῷς τὰ λοιπά. **Ξ**. Φράζε πρὸς τοῦ κειμένου!
τὸ βλέμμα τούτου ποῖον; **Τ**. Ὡς τόξου δόναξ.
**Ξ**. Ἔπληττε πρὸς τὰ στέρνα; **Τ**. Ναὶ τὴν καρδίαν.
**Ξ**. Μὴ πικρὸν ἦν τὸ τραῦμα; **Τ**. Γλυκάζον, ξένε.
**Ξ**. Τὸ χρῶμα τούτῳ ποῖον; **Τ**. Ὀφθαλμοῦ δρόσος,
ὡς γάλα λευκός, ἐξέρυθος ὡς ῥόδον.
**Ξ**. Πρόσθες τὸ λεῖπον. **Τ**. Πρόσχες ἐξηγουμένῳ.
**Ξ**. Τὰ ῥεῖθρα τούτῳ πῶς ἐχεῖτο τοῦ λόγου;
**Τ**. Ὡς ὄμβρος ἡδύς, ὥσπερ αἰθρία δρόσος.
**Ξ**. Ποταπὸς ἦν τὰ στέρνα; **Τ**. Σιδηροῦς, ξένε.
**Ξ**. Ὁποῖος ἦν τὰς χεῖρας; **Τ**. Ἀρχαῖος Δοῦκας,
ὡς Ἀνδρόνικος ἄλλος ἢ Κωνσταντῖνος.
**Ξ**. Ἐς ἀνδρὸς οὗτος ἦλθεν ἐντελῆ χρόνον;
**Τ**. Ἴουλος οὔπω τὴν γένυν ἐζωγράφει.

**Ξ**. Πῶς ἦν ἀριστεὺς καὶ πρὸ τῆς ἡλικίας;
**Τ**. Ἐκ τῶν λεόντων τίκτεται βρέφος λέων.
**Ξ**. Ἤδη νοῶ τὸν παῖδα. **Τ**. Καὶ τίς ἦν; λέγε!
**Ξ**. Σεβαστὸς Ἀνδρόνικος ἐκ Δουκῶν γένους.
**Τ**. Αὐτὸν λέγεις ἐκεῖνον. **Ξ**. Ὧι θνήσκει τρόπω;
**Τ**. Ἐκ συγκοπῆς. **Ξ**. Ἄφυκτα, φεῦ, τὰ τῆς νόσου.
Μὴ καὶ πρὸ πατρὸς οὗτος ἦλθεν ἐς τάφον;
**Τ**. Ναὶ καὶ πρὸ μητρός, ἀλλὰ καὶ τῆς συζύγου.
**Ξ**. Οἰκτρὸν λέγεις τὸ πρᾶγμα. πλὴν σώζοιντό μοι
γῆν πραέων ὡς κλῆρον εἰσδεδεγμένοι.
**Τ**. Καὶ σέ, ξένε, θρηνοῦντα νεκροὺς τοὺς φίλους
κατιθύναι τὸ Θεῖον εἰς σωτηρίαν.

**Παράλληλο κείμενο**

**Αγαθίας Σχολαστικός (έκδ. Beckby)**

Εἰς Περίκλειαν… κειμένην ἐν Βυζαντίῳ

**Περίκλεια**. Ὦ ξένε, τί κλαίεις; **Ξένος**. Διὰ σὸν μόρον. **Π**. Οἶσθα τίς εἰμι;
**Ξ.** Οὐ μὰ τόν, ἀλλ' ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.
Ἐσσὶ δὲ τίς; **Π**. Περίκλεια. **Ξ**. Γυνὴ τίνος; **Π**. Ἀνδρὸς ἀρίστου,
ῥήτορος ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
**Ξ**. Πῶς δέ σε Βοσπορίη κατέχει κόνις; **Π**. Εἴρεο Μοῖραν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
**Ξ**. Παῖδα λίπες; **Π**. Τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων,
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
**Ξ**. Αἴθε καλῶς ζώοι. **Π**. Ναί, ναί, φίλος, εὔχεο κείνῳ
ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.